43 ΜΓʹ

1 Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορε εἰς σύνεσιν ψαλμός.
2 Ὁ θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν,
οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν
ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.
3 ἡ χείρ σου ἔθνη ἐξωλέθρευσεν, καὶ κατεφύτευσας αὐτούς,
ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς.
4 οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν,
καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς,
ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου
καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς.
5 σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ θεός μου
ὁ ἐντελλόμενος τὰς σωτηρίας Ιακωβ·
6 ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν
καὶ ἐν τῷ ὀνόματί σου ἐξουθενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.
7 οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ,
καὶ ἡ ῥομφαία μου οὐ σώσει με·
8 ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς
καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.
9 ἐν τῷ θεῷ ἐπαινεσθησόμεθα ὅλην τὴν ἡμέραν
καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.
διάψαλμα.
10 νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς
καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν·
11 ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν,
καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.
12 ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως
καὶ ἐν τοῖς ἔθνεσιν διέσπειρας ἡμᾶς·
13 ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς,
καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν αὐτῶν.
14 ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν,
μυκτηρισμὸν καὶ καταγέλωτα τοῖς κύκλῳ ἡμῶν·
15 ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσιν,
κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.
16 ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστιν,
καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέν με

43 (𝔐 44) 1 εις συνεσιν > A | ψαλμος > S || $8^{1.2}$ > B† || $10^2$ εξελ.] + ο θεος A || $13^2$ αλλαγμασιν Bo] αλαλαγμ. BSA | αυτων] ημων A || $14^1$ ονειδος] pr. εις A | $14^2$ καταγελωτα] χλευασμον A (S om. $14^2$ $15^1$) | fin.] + και οι εχθροι ημων εμυκτηρισαν ημας A†: ex 79 7 || $16^1$ κατενωπιον A†